## Capitolo II

Ὁ μὲν Δικαιόπολις ἐλαύνει τὸν βοῦν, ὁ δὲ δοῦλος φέρει τὸ ἄροτρον.



ὁ Δ. ἐκ-βαίνει ἐκ τοῦ οἴκου





ὁ Ξανθίας καθεύδει

ὁ δοῦλος

ὁ Δ. πρὸς τὸν δοῦλον λέγει· «Διὰ τί καθεύδεις;»

σπεῦδε!

ὁ Ξ. ἀργός ἐστιν, ἀλλὰ λέγει· «Οὐκ ἀργός εἰμι. Διὰ τί οὕτω χαλεπὸς εἶ;»

εἰμι εἶ ἐστι(ν)

ὁ Ξ. σπεύδει, καὶ λέγει· «Ἤδη σπεύδω.»

σπεύδω

σπεύδει



### Ο ΞΑΝΘΙΑΣ (α)

Ὁ Δικαιόπολις ἐκβαίνει ἐκ τοῦ οἴκου καὶ καλεῖ τὸν Ξανθίᾱν. Ὁ Ξανθίᾱς δοῦλός ἐστιν, ἰσχῡρὸς μὲν ἄνθρωπος, ἀργὸς δέ· οὐ γὰρ πονεῖ, εἰ μὴ πάρεστιν ὁ Δικαιόπολις. Νῦν δὲ καθεύδει ἐν τῷ οἴκῳ. Ὁ οὖν Δικαιόπολις καλεῖ αὐτὸν καὶ λέγει· «Ἐλθὲ δεῦρο, ὦ Ξανθίᾱ. Διὰ τί καθεύδεις; Μὴ οὕτω ἀργὸς ἴσθι ἀλλὰ σπεῦδε.» Ὁ οὖν Ξανθίᾱς βραδέως ἐκβαίνει ἐκ τοῦ οἴκου καὶ λέγει· «Διὰ τί εἶ οὕτω χαλεπός, ὦ δέσποτα; Οὐ γὰρ ἀργός εἰμι ἀλλὰ ἤδη σπεύδω.» Ὁ δὲ Δικαιόπολις λέγει· «Ἐλθὲ δεῦρο καὶ

| | | | |
|---|---|---|---|
| καλεῖ | crida | δεῦρο | aquí |
| μέν... δέ... | d'una banda... d'una altra... | διὰ τί; | per què? |
| ἀργός | vessut | μή... ἴσθι | no siguis...! |
| εἰ μή | si no | σπεύδει | s'apressa, frissa |
| πάρεστι(ν) | hi és | βραδέως | lentament |
| νῦν | ara | οὕτω(ς) | així |
| ἐλθέ | vine! | ὦ δέσποτα | o amo! |
| | | ἤδη | ja |

συλλάμβανε· λάμβανε γὰρ τὸ ἄροτρον καὶ φέρε αὐτὸ πρὸς τὸν ἀγρόν. Ἐγὼ γὰρ ἐλαύνω τοὺς βοῦς. Ἀλλὰ σπεῦδε· μῑκρὸς μὲν γάρ ἐστιν ὁ ἀγρός, μακρὸς δὲ ὁ πόνος.»

## Ο ΔΟΥΛΟΣ ΑΡΓΟΣ ΕΣΤΙΝ

Πολὺν χρόνον πονεῖ ἐν τῷ ἀγρῷ ὁ Δικαιόπολις. Τέλος δὲ πρὸς τὸν οἶκον βαδίζει καὶ ἡσυχάζει. Ὁ γὰρ Δικαιόπολις μάλα κάμνει. Ἐν οὖν τῷ οἴκῳ καθεύδει.

Τῇ δὲ ὑστεραίᾳ ἕωθεν ὁ Δικαιόπολις ἐκ τοῦ οἴκου ἐκβαίνει. Ἔπειτα τὸν δοῦλον καλεῖ καὶ λέγει· «Ὦ Ξανθίᾱ, ἐγὼ μὲν καλῶ σε· διὰ τί οὐκ ἐκβαίνεις ἐκ τοῦ οἴκου; Μὴ κάθευδε, ἀλλὰ σπεῦδε πρὸς τὸν ἀγρόν. Ἀλλὰ λάμβανε τὸ ἄροτρον καὶ φέρε πρὸς τὸν ἀγρόν. Χαλεπὸς γάρ ἐστιν ὁ πόνος καὶ μακρός, σὺ δὲ καθεύδεις ἐν τῷ οἴκῳ καὶ οὐ πονεῖς· ἐγὼ δὲ πονῶ πολὺν χρόνον καὶ μάλα κάμνω. Ἐλθὲ οὖν δεῦρο,

συλλάμβανε!
λάμβανε!
φέρε!



τὸ ἄροτρον

«ἐγὼ ἐλαύνω τοὺς βοῦς·
διὰ τί οὐκ ἐλαύνεις τοὺς βοῦς;»



ὁ Δ. ἐλαύνει τοὺς βοῦς

ἐλαύνω
ἐλαυνεις
ἐλαύνει

«ἐγὼ καλῶ τὸν δοῦλον»
ὁ Δ. καλεῖ τὸν δοῦλον

«ἐγὼ μὲν πονῶ, σὺ δὲ οὐ πονεῖς.»
ὁ δοῦλος οὐ πονεῖ.

| | | | |
|---|---|---|---|
| συλλαμβάνει | ajuda | ἕωθεν | a trenc d'alba |
| λαμβάνει | agafa | σε | te, et |
| αὐτό | açò | σύ | tu |
| μὴ κάθευδε | no dormis! | τοὺς βοῦς | els bous |
| τῇ ὑστεραίᾳ | a l'endemà | | |

## Capitolo II

καὶ συλλάμβανε.» Ὁ δὲ Ξανθίᾱς λέγει· «Οὐκέτι καθεύδω ἐγὼ ἐν τῷ οἴκῳ, ὦ δέσποτα, ἀλλὰ σπεύδω πρὸς τὸν ἀγρὸν καὶ τὸ ἄροτρον φέρω· σὺ δὲ τί ποιεῖς;»

ἐγὼ ποι<u>ῶ</u>
σὺ ποι<u>εῖς</u>
ὁ ἄνθρωπος ποι<u>εῖ</u>

«Ἐγὼ τοὺς βοῦς ἐλαύνω πρὸς τὸν ἀγρόν. Ἀλλὰ σπεῦδε, καὶ μὴ κάθιζε ἐν τῷ οἴκῳ. Φέρε δὲ τὸ ἄροτρον.» Ὁ Ξανθίᾱς οὖν τὸ ἄροτρον πρὸς τὸν ἀγρὸν φέρει. Δι᾽ὀλίγου δὲ ὑπὸ τῷ δένδρῳ καθίζει· ἤδη γὰρ μάλα κάμνει. Ὁ δὲ Δικαιόπολις λέγει· «Διὰ τί καθίζεις ὑπὸ τῷ δένδρῳ; Τί οὐκ αἴρεις τοὺς λίθους; Τί οὐ φέρεις τοὺς λίθους ἐκ τοῦ ἀγροῦ; Ὦ Ξανθίᾱ, ἰσχῡρὸς μὲν εἶ, μάλα ἀργὸς δέ, καὶ οὐ φιλεῖς τὸν πόνον.»

ὑπό (+ *dat.*)

τί = διὰ τί

Ὁ Ξανθίᾱς ἐπαίρει ἑαυτὸν καὶ λέγει· «Ἐγὼ ἀργὸς μὲν οὔκ εἰμι, κάμνω δὲ μάλα· ὁ γὰρ πόνος μακρός ἐστιν, φλέγει δὲ ὁ ἥλιος. Σὺ δὲ δεσπότης χαλεπὸς εἶ. Ὁ μὲν γὰρ ἀγρὸς καλός ἐστι καὶ πολὺν σῖτον παρέχει. Σὺ οὖν σπεύδεις πρὸς τὸν ἀγρόν, καὶ τοὺς βοῦς ἐλαύνεις, καὶ τὸ ἄροτρον λαμβάνεις· σὺ μὲν γὰρ εἶ δεσπότης, καὶ τὸν ἀγρὸν μάλα φιλεῖς· ἐγὼ δὲ δοῦλός εἰμι, καὶ οὐ μάλα φιλῶ τὸν ἀγρόν.»